**ΧΑΡΩΝ**

Λέγε μοι,

τίς ὅδ᾽ ἐστιν πάχιστος ἀνὴρ μέγιστός τε καὶ κράτιστος

ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ ὤμους;

**ΕΡΜΗΣ**

Μίλων οὗτος

ὁ ἐκ Κρότωνος ἀθλητής.

ἐπικροτοῦσι δ᾽ αὐτῷ οἱ Ἕλληνες,

ὅτι τὸν μείζω ταῦρον ἑαυτοῦ

φέρει διὰ τοῦ σταδίου μέσου.



EDME DUMONT (1722-1775), Milo of Croton | Louvre, Paris

**ΧΑΡΩΝ**

καὶ πόσῳ δικαιότερον,

ὦ Ερμῆ,

ἐπαινέσουσιν ἐμέ,

ὃς αὐτὸν τὸν Μίλωνα μετ᾽ ὀλίγου [χρόνου]

ἄξω εἰς τὸ σκαφίδιόν μου.



ἴσως μὲν γὰρ ἐλπίζει

ἀποτρέψειν τὴν συμφορὰν

καὶ τοῦ λοιποῦ [χρόνου] ἔσεσθαι ἀθάνατος·

δῆλον δ᾽,

ὅτι διώξει καὶ χείρους [= NF: χείρονας] καὶ τόνδ᾽ αὐτὸν

ὁ-κρείττων-τῶν-ἄλλων-ἐναντίων, ὁ Θάνατος,

ὡς ἁρπάσων καὶ ὡς ἄξων πρὸς ἐμὲ τάχιστα.

καὶ εἶτα μνημονεύσει μὲν

τῶν στεφάνων τούτων καὶ τοῦ κρότου,

τοῦτο δὲ λυπηρὸν ἔσται αὐτῷ.

**ΕΡΜΗΣ**

ἆρα μή τις θανάτου μνημονεύσει ἐν ἀκμῇ τοσαύτῃ;